ΙΩΝ. τίς λέγει τάδ᾽; ΞΟΥ. ὅς σ᾽ ἔθρεψεν ὄντα Λοξίας ἐμόν.
ΙΩΝ. μαρτυρεῖς σαυτῷ. ΞΟΥ. τὰ τοῦ θεοῦ γ᾽ ἐκμαθὼν χρηστήρια.
ΙΩΝ. ἐσφάλης αἴνιγμ᾽ ἀκούσας. ΞΟΥ. οὐκ ἄρ᾽ ὄρθ᾽ ἀκούομεν.
ΙΩΝ. ὁ δὲ λόγος τίς ἐστι Φοίβου; ΞΟΥ. τὸν συναντήσαντά μοι
ΙΩΝ. τίνα συνάντησιν; ΞΟΥ. δόμων τῶνδ᾽ ἐξιόντι τοῦ θεοῦ
ΙΩΝ. συμφορᾶς τίνος κυρῆσαι; ΞΟΥ. παῖδ᾽ ἐμὸν πεφυκέναι.
ΙΩΝ. σὸν γεγῶτ᾽, ἢ δῶρον ἄλλων; ΞΟΥ. δῶρον, ὄντα δ᾽ ἐξ ἐμοῦ.
ΙΩΝ. πρῶτα δῆτ᾽ ἐμοὶ ξυνάπτεις πόδα σόν; ΞΟΥ. οὐκ ἄλλῳ, τέκνον.
ΙΩΝ. ἡ τύχη πόθεν ποθ᾽ ἥκει; ΞΟΥ. δύο μίαν θαυμάζομεν.
ΙΩΝ. ἐκ τίνος δέ σοι πέφυκα μητρός; ΞΟΥ. οὐκ ἔχω φράσαι.
ΙΩΝ. οὐδὲ Φοῖβος εἶπε; ΞΟΥ. τερφθεὶς τοῦτο, κεῖν᾽ οὐκ ἠρόμην.
ΙΩΝ. γῆς ἄρ᾽ ἐκπέφυκα μητρός. ΞΟΥ. οὐ πέδον τίκτει τέκνα.
ΙΩΝ. πῶς ἂν οὖν εἴην σός; ΞΟΥ. οὐκ οἶδ᾽, ἀναφέρω δ᾽ εἰς τὸν θεόν.
ΙΩΝ. φέρε λόγων ἁψώμεθ᾽ ἄλλων. ΞΟΥ. ταῦτ᾽ ἄμεινον, ὦ τέκνον.
ΙΩΝ. ἦλθες εἰς νόθον τι λέκτρον; ΞΟΥ. μωρίᾳ γε τοῦ νέου.
ΙΩΝ. πρὶν κόρην λαβεῖν Ἐρεχθέως; ΞΟΥ. οὐ γὰρ ὕστερόν γέ πω.

---

537. *ἄλλων*] Dobraeus, *ἄλλως* libri. *δ᾽*] Musgravius, *σ᾽* libri. 540. *ἐκ τίνος*] Hermannus, *ἔα τίνος* libri. *πέφυκα μητρός*] Canterus, *μητρὸς πέφυκα* libri. 541. *τούτῳ B τοῦτο C* 545. *τοῦ λόγου B τοῦ νέου C*